27 [27]καὶ ἐπάταξεν αὐτοὺς βασιλεὺς Βαβυλῶνος ἐν Δεβλαθα ἐν γῇ Αιμαθ.
31 [31]Καὶ ἐγένετο ἐν τῷ τριακοστῷ καὶ ἑβδόμῳ ἔτει ἀποικισθέντος
τοῦ Ιωακιμ βασιλέως Ιουδα ἐν τῷ δωδεκάτῳ μηνὶ ἐν τῇ τετράδι
καὶ εἰκάδι τοῦ μηνὸς ἔλαβεν Ουλαιμαραδαχ βασιλεὺς Βαβυλῶνος
ἐν τῷ ἐνιαυτῷ, ᾧ ἐβασίλευσεν, τὴν κεφαλὴν Ιωακιμ βασιλέως
32 Ιουδα καὶ ἐξήγαγεν αὐτὸν ἐξ οἰκίας, ἧς ἐφυλάττετο· [32]καὶ ἐλάλη-
σεν αὐτῷ χρηστὰ καὶ ἔδωκεν τὸν θρόνον αὐτοῦ ἐπάνω τῶν θρό-
33 νων τῶν βασιλέων τῶν μετ᾽ αὐτοῦ ἐν Βαβυλῶνι· [33]καὶ ἤλλαξεν
τὴν στολὴν τῆς φυλακῆς αὐτοῦ καὶ ἤσθιεν ἄρτον διὰ παντὸς κατὰ
34 πρόσωπον αὐτοῦ πάσας τὰς ἡμέρας, ἃς ἔζησεν· [34]καὶ ἡ σύνταξις
αὐτῷ ἐδίδοτο διὰ παντὸς παρὰ τοῦ βασιλέως Βαβυλῶνος ἐξ ἡμέ-
ρας εἰς ἡμέραν ἕως ἡμέρας, ἧς ἀπέθανεν.

27 βασιλευς] pr. ο S | εν 1⁰] εις S† | αιμαθ] μααθ S†, αιμααθ A† || 31 τω 1⁰ > SA† | τριακοστω κ. εβδ. ετει] τριακοντα κ. επτα ετεσιν S† | ουλαιμαραδαχ A†] -μαδαχαρ B†, -μαδαραχ Q, ουλεδαμαχαρ S† | ιουδα ult.] + και εκειρεν αυτον B†: cf. Sˢ ante την κεφαλην addens και εκιρεν et *L* post ελαβεν addens και εκειρεν | εφυλαττετο A pau.] σσ pro ττ rel.: cf. 24 || 32 τον θρονον αυτου επανω των θρονων] αυτου τον θρονον επανω BS(†) || 33 ηλλαξαν BS pau. || 34 εδιδετο B*S*A: cf. Thack. p. 250 | εξ ημερων εις ημερας A(†)

Subscr. ιερεμιας BS, ιερεμιας προφητης ιδ′ A†

---

# ΒΑΡΟΥΧ

1 [1]Καὶ οὗτοι οἱ λόγοι τοῦ βιβλίου, οὓς ἔγραψεν Βαρουχ υἱὸς Νη-
ριου υἱοῦ Μαασαιου υἱοῦ Σεδεκιου υἱοῦ Ασαδιου υἱοῦ Χελκιου ἐν
2 Βαβυλῶνι [2]ἐν τῷ ἔτει τῷ πέμπτῳ ἐν ἑβδόμῃ τοῦ μηνὸς ἐν τῷ
καιρῷ, ᾧ ἔλαβον οἱ Χαλδαῖοι τὴν Ιερουσαλημ καὶ ἐνέπρησαν αὐτὴν
3 ἐν πυρί. [3]καὶ ἀνέγνω Βαρουχ τοὺς λόγους τοῦ βιβλίου τούτου ἐν
ὠσὶν Ιεχονιου υἱοῦ Ιωακιμ βασιλέως Ιουδα καὶ ἐν ὠσὶ παντὸς τοῦ
4 λαοῦ τῶν ἐρχομένων πρὸς τὴν βίβλον [4]καὶ ἐν ὠσὶν τῶν δυνατῶν
καὶ υἱῶν τῶν βασιλέων καὶ ἐν ὠσὶ τῶν πρεσβυτέρων καὶ ἐν ὠσὶ
παντὸς τοῦ λαοῦ ἀπὸ μικροῦ ἕως μεγάλου, πάντων τῶν κατοικούν-
5 των ἐν Βαβυλῶνι ἐπὶ ποταμοῦ Σουδ. [5]καὶ ἔκλαιον καὶ ἐνήστευον
6 καὶ ηὔχοντο ἐναντίον κυρίου [6]καὶ συνήγαγον ἀργύριον, καθὰ ἑκά-
7 στου ἠδύνατο ἡ χείρ, [7]καὶ ἀπέστειλαν εἰς Ιερουσαλημ πρὸς Ιωακιμ

Bar.: BA. — S post Ier. scripsit librum Thr. usque ad 2 20 conseruatum; librum Bar. utrum post Thr. scripserit an omiserit, non liquet, quia post Thr. 2 20 multa folia interierunt.

1 1 ασαδιου] σαδιου *L*, σαδαιου A† || 2 εν 2⁰ > A*L* || 4 των βασιλεων] του -ως A† | μεγαλου] + αυτων A: cf. Ier. 49 1 | ποταμου] pr. του A || 5 ηυχ.] + ευχας A | εναντι A